Γ' Χαιρετισμοί



Επισκεφτείτε τον ιστοχώρο μας στην διεύθυνση: http://www.saint.gr/187/saint.aspx για περισσότερες πληροφορίες για τον βίο (ονόματα, βίντεο, ακολουθίες, φωτογραφίες κτλ) καθώς και για τυχών ενημερώσεις - διορθώσεις.

Τελευταία ενημέρωση βιογραφίας: 27/3/2011 4:08:00 πμ
Δημιουργία εγγράφου: 10/11/2026 22:57:26

Σύνοψη

Τύπος εορτής: Εορτάζει 30 ημέρες πριν το Άγιο Πάσχα.

Ημ/νια Βίου: 27/3/2011 4:08:00 πμ

Βιογραφία

Πληροφορίες για τον Ακάθιστο Ύμνο βλέπε εδώ.

Ακάθιστος Ύμνος - Γ' Στάσις

Νέαν ἔδειξε κτίσιν,

ἐμφανίσας ὁ Κτίστης,

ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις·

ἐξ ἀσπόρου βλαστήσας γαστρός,

καὶ φυλάξας ταύτην,

ὥσπερ ἦν ἄφθορον,

ἵνα τὸ θαῦμα βλέποντες,

ὑμνήσωμεν αὐτὴν βοῶντες·

Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας,

χαῖρε, τὸ στέφος τῆς ἐγκρατείας.

Χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα,

χαῖρε, τῶν Ἀγγέλων τὸν βίον ἐμφαίνουσα.

Χαῖρε, δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί,

χαῖρε, ξύλον εὐσκιόφυλλον, ὑφ' οὗ σκέπονται πολλοί.

Χαῖρε, κυοφοροῦσα ὁδηγὸν πλανωμένοις,

χαῖρε, ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις.

Χαῖρε, Κριτοῦ δικαίου δυσώπησις,

χαῖρε, πολλῶν πταιόντων συγχώρησις.

Χαῖρε, στολὴ τῶν γυμνῶν παρρησίας,

χαῖρε, στοργὴ πάντα πόθον νικῶσα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες,

ξενωθῶμεν τοῦ κόσμου, τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες·

διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεός,

ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος·

βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος,

τοὺς αὐτῷ βοώντας·

Ἀλληλούια.

Ὅλως ἦν ἐν τοῖς κάτω,

καὶ τῶν ἄνω οὐδόλως ἀπῆν,

ὁ ἀπερίγραπτος Λόγος·

συγκατάβασις γὰρ θεϊκή,

οὐ μετάβασις τοπικὴ γέγονε,

καὶ τόκος ἐκ Παρθένου θεολήπτου,

ἀκουούσης ταῦτα·

Χαῖρε, Θεοῦ ἀχωρήτου χώρα,

χαῖρε, σεπτοῦ μυστηρίου θύρα.

Χαῖρε, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα,

χαῖρε, τῶν πιστῶν ἀναμφίβολον καύχημα.

Χαῖρε, ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβείμ,

χαῖρε, οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφείμ.

Χαῖρε, ἡ τἀναντία εἰς ταὐτὸ ἀγαγοῦσα,

χαῖρε, ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα.

Χαῖρε, δι' ἧς ἐλύθη παράβασις,

χαῖρε, δι' ἧς ἠνοίχθη παράδεισος.

Χαῖρε, ἡ κλεὶς τῆς Χριστοῦ βασιλείας,

χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Πᾶσα φύσις Ἀγγέλων,

κατεπλάγη τὸ μέγα,

τῆς σῆς ἐνανθρωπήσεως ἔργον·

τὸν ἀπρόσιτον γὰρ ὡς Θεόν,

ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον,

ἡμῖν μὲν συνδιάγοντα,

ἀκούοντα δὲ παρὰ πάντων οὕτως·

Ἀλληλούια.

Ρήτορας πολυφθόγγους,

ὡς ἰχθύας ἀφώνους,

ὁρῶμεν ἐπὶ σοὶ Θεοτόκε·

ἀποροῦσι γὰρ λέγειν,

τὸ πῶς καὶ Παρθένος μένεις,

καὶ τεκεῖν ἴσχυσας·

ἡμεῖς δὲ τὸ μυστήριο ν θαυμάζοντες,

πιστῶς βοῶμεν·

Χαῖρε, σοφίας Θεοῦ δοχεῖον,

χαῖρε, προνοίας αὐτοῦ ταμεῖον.

Χαῖρε, φιλοσόφους ἀσόφους δεικνύουσα,

χαῖρε, τεχνολόγους ἀλόγους ἐλέγχουσα.

Χαῖρε, ὅτὶ ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί,

χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί.

Χαῖρε, τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα,

χαῖρε, τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα.

Χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα,

χαῖρε, πολλοὺς ἐν γνώσει φωτίζουσα.

Χαῖρε, ὁλκὰς τῶν θελόντων σωθῆναι,

χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Σῶσαι θέλων τὸν κόσμον,

ὁ τῶν ὅλων κοσμήτωρ,

πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε·

καὶ ποιμὴν ὑπάρχων ὡς Θεός,

δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος·

ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας,

ὡς Θεὸς ἀκούει·

Ἀλληλούια.

Αγιογραφίες / Φωτογραφίες



Νέαν ἔδειξε κτίσιν, ἐμφανίσας ὁ Κτίστης....



Ξένον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ κόσμου....



Ὅλως ἦν ἐν τοῖς κάτω.... / Πᾶσα φύσις Ἀγγέλων, κατεπλάγη τὸ μέγα....



Ρήτορας πολυφθόγγους, ὡς ἰχθύας ἀφώνους....



Σῶσαι θέλων τὸν κόσμον, ὁ τῶν ὅλων κοσμήτωρ.... / Τεῖχος εἶ τῶν παρθένων, Θεοτόκε Παρθένε....



Χαῖρε, τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα.... / Χαῖρε, ὁλκὰς τῶν θελόντων σωθῆναι....

Σχετικές συνδέσεις

1. Α' Χαιρετισμοί
2. Β' Χαιρετισμοί
3. Δ' Χαιρετισμοί
4. Ακάθιστος Ύμνος

Παραπομπές

1. ΜΥΡΙΟΒΙΒΛΟΣ